ΘΡΑΣ. Ὦ δημοκρατία, καὶ νόμοι, παιόμεθα ὑπὸ τοῦ καταράτου ἐν ἐλευθέρᾳ τῇ πόλει.

ΤΙΜ. Τί ἀγανακτεῖς, ὦ 'γαθὲ Θρασύκλεις; μῶν παρακέκρουσμαί[145] σε; καὶ μὴν ἐπεμβαλῶ χοίνικας ὑπὲρ τὸ μέτρον τέτταρας. Ἀλλὰ τί τοῦτο; πολλοὶ ξυνέρχονται· Βλεψίας ἐκεῖνος, καὶ Λάχης, καὶ Γνίφων, καὶ ὅλως τὸ σύνταγμα τῶν οἰμωξομένων, ὥστε τί οὐκ ἐπὶ τὴν πέτραν ταύτην ἀνελθὼν, τὴν μὲν δίκελλαν ὀλίγον ἀναπαύω πάλαι πεπονηκυῖαν, αὐτὸς δὲ ὅτι πλείστους λίθους ξυμφορήσας, ἐπιχαλαζῶ πόῤῥωθεν αὐτούς;

ΒΛΕΨ. Μὴ βάλλε, ὦ Τίμων· ἄπιμεν γάρ.

ΤΙΜ. Ἀλλ' οὐκ ἀναιμωτί γε ὑμεῖς, οὐδὲ ἄνευ τραυμάτων.

---

145) Μήπως σὲ ἠπάτησα εἰς τὸ μέτρημα.

Τῷ Κυρίῳ Πέτρου Γεωργίου Σηλύμνου. 1862.

Господ. Петар. Георгиови отъ Сливенъ.